www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανών εἰς τὸν Ἅγιον καὶ Ὁμολογητὴν Θεόδωρον τὸν Στουδίτην

Ἦχος πλ.δ'

Ἅγιον Ὄρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Ἕτερος εἰς τὸν Ἅγιον καὶ Ὁμολογητὴν Θεόδωρον τὸν Στουδίτην, οὗ ἡ ἀκροστιχίς, κατ' «Ἀλφάβητον», ἐν δὲ τοῖς Θεοτοκίοις, «Ἱλαρίων Μ.», Ἦχος πλ.δ΄.

Ὠιδὴ Α΄ Ἁρματηλάτην Φαραώ.

Ἀνοίξει Πάτερ δωρεῶν ἐπώνυμε, θείων τοῦ στόματος, φωτισμὸν παράσχου, καὶ τῇ γλώττῃ δύναμιν, πρεσβείαις σου μοι δώρησαι, ὅπως ὕμνοις ἀξίως, τὰς ἀριστείας σου ὅσιε, μέλψω καὶ τοὺς θείους ἀγῶνάς σου.

Βίου ἀρχῇ τῇ Βασιλίδι ἔλαχε, τῇ σῇ τῶν πόλεων, καὶ τῇ ἀνωτάτῳ βιοτῇ ὡσαύτως σε, θεόφρον κατεκόσμησεν, ᾗπερ Πάτερ τροφεῖα, εὐγνωμονῶν ἀνταπέδωκας, τῆς ὀρθοδοξίας τὰ νάματα.

Γῆθεν ἀπάρας θερμοτάτῳ ἔρωτι, πρὸς γῆν κατέφθασας, τὴν τῆς ἀπαθείας, ἐν σαρκὶ Θεόδωρε, βιώσας ὥσπερ ἄγγελος, καὶ τὸν ἔνθεον σπόρον, ὡς γεηπόνος τις ἄριστος, ηὔξησας τρισμάκαρ τῆς πίστεως.

*Θεοτοκίον.*

Ἱλαρωτάτῃ διαθέσει Ἄχραντε, τῷ θεοφόρῳ Πατρί, τουτονὶ τὸν ὕμνον, Θεοδώρῳ ᾆσαί με, ἐνίσχυσον σῇ χάριτι, ὡς τῆς χάριτος Μήτηρ, καὶ τῷ Υἱῷ σου μετάνοιαν, δοῦναί μοι ἱκέτευε Δέσποινα.

*Ὠιδὴ Γ΄ Ὁ στερεώσας κατ᾽ ἀρχάς.*

Διαναστήσας σεαυτόν, ἀγῶνας πρὸς τοὺς ἐνθέους, τὴν ὀφρὺν τῶν ἀσεβούντων καθεῖλες, τῇ εἰκόνι τοῦ Χριστοῦ, καὶ τῇ τῆς Θεομήτορος, καὶ τῶν ἁγίων πάντων, τοῖς ὀρθοδόξοις σου δόγμασι.

Ἐπὶ τὴν πέτραν πεπηγώς, καθάπερ πύργος θεόφρον, ἀπεκρούσω δυσμενῶν τὰς ἐφόδους, μέχρις αἵματος σοφέ, στερρῶς ἀγωνισάμενος, διὸ καὶ τῶν στεφάνων, κατηξιώθης Θεόδωρε.

Ζέων τῷ πνεύματι δεινῶν, τῆς Ἐκκλησίας προέδρων, τὴν ἀπόνοιαν ἐξήλεγξας Πάτερ, ἀδοκίμων ἐμφανῶς, σοφίᾳ ἐγκαυχώμενοι, τῇ μωρανθείσῃ ὄντως, σταυροῦ ἐν κόσμῳ ἐκλάμψαντος.

*Θεοτοκίον.*

Λελαμπρυσμένη ταῖς αὐγαῖς, τῆς ὑπερφώτου Τριάδος, Θεοτόκε τῷ σῷ δούλῳ παράσχου, δεομένῳ φωτισμόν, ὡς ἂν ἐξομολόγησιν, τῶν πεπλημμελημένων, πρὸ τοῦ θανάτου ποιήσωμαι.

*Ὠιδὴ Δ΄ Σύ μου ἰσχύς.*

Ἡ ἐναγής, τῶν θεομάχων δυσσέβεια, τῶν ποιμένων, εὐσεβείας ἔωλον, ἠμφιεσμένῃ περιβολήν, ποίμνην εὐσεβοῦσαν, τὴν τοῦ Χριστοῦ ἐλυμήνατο, ἀλλά γε σὺ θεόφρον, τοῖς πυρίπνοις σου λόγοις, διανοίας αὐτῶν κατεβρόντησας.

Θυμομαχῶν, ὁ παραπλὴξ θηριώνυμος, θεοφόρε, Πάτερ ὑπερόριον, μάκαρ καθίστησι καὶ εἱρκτῇ, δεινοτάτῃ ἅμα, ταύτῃ προστίθησι μάστιγας, ὡς ὄντως ἀποφαίνων, στεφανίτην ὁ ἄφρων, Ἐκκλησίας πιστῶν σε Θεόδωρε.

Ἱερουργός, τῶν μυστηρίων θεσπέσιος, καὶ κανόνων, καὶ τῶν παραδόσεων, Πάτερ ἀνένδοτος τηρητής, τὴν ὀρθοδοξίαν, Θεόδωρε ἀντεχόμενος,

ἀπρὶξ παρανομούντων, Ἐκκλησίας ποιμένων, μνημονεύων τελείως κατέπαυσας.

*Θεοτοκίον.*

Ἅπασάν σοι, μετὰ Θεὸν τὴν ἐλπίδα μου, Παναγία, Κόρη ἀνατέθεικα, ὁ ἀδιόρθωτος ἐσαεί, σὺ ὡς εὐσπλαγχνίας, Μήτηρ κατοικτείρον δέομαι, καὶ δὸς πρὸ τῆς ἐξόδου, ἐπιθεῖναί μοι παῦλαν, τῷ ἀσώτῳ κακίᾳ Πανάχραντε.

*Ὠιδὴ Ε΄ Ἵνα τί με ἀπώσω.*

Κατηχῶν τοὺς συνόντας, τούτους παναοίδιμε σκεύη ἀνέδειξας, Πνεύματος Ἁγίου, ὡς φωστῆρας τῇ γῇ διαλάμψαντας, βίου ἀκριβείᾳ, καὶ τῶν σημείων τῇ ἐκφάνσει, καὶ στερροὺς ὑπερμάχους τῆς πίστεως.

Λαμπρυνθεὶς τῷ στεφάνῳ, τῆς ὁμολογίας ἔνδοξε Πάτερ Θεόδωρε, ὡς καταφιμώσας, καινοτόμων ἐχθίστων τὰ στόματα, ἅπερ ἀσυστόλως, τῶν παραδόσεων τῶν θείων, τῶν Πατέρων ἐκθέσμως καθήψαντο.

Μαινομένοις λόγοις, τῆς καινοτομίας πείθειν σε προὐτρέποντο, τῆς ὀρθοδοξίας, τὸν ἀκράδαντον πύργον Θεόδωρε, οἱ τοῖς τῶν ματαίων, χλιδῇ καὶ τύρβῃ κεχηνότες, καὶ ποιμένων Χριστοῦ οἱ φερώνυμοι.

*Θεοτοκίον.*

Ῥυπαρίαν Παρθένε, ὡς καθαρωτάτη τῆς ψυχῆς ἀπόσμηξον, τῆς ἐμῆς ὡς πόρνῃ, ὁ Υἱός σου τὸ πρὶν ἐδωρήσατο, ἄφεσιν καὶ τρίβῳ, τῆς μετανοίας ἴθυνόν με, ὅπως πεῖραν ἐκφύγω κολάσεως.

*Ὠιδὴ ΣΤ' Ἱλάσθητί μοι Σωτήρ.*

Νικήσας τὸν νοητόν, ἀσκήσει Πάτερ πολέμιον, συμμάχους τοὺς ἑαυτοῦ, δεινοὺς αἱρετίζοντας, μηχανὰς Θεόδωρε, λόγοις σου ἐνθέοις, τούτων πάμπαν κατασυνέτριψας.

Ξενοφωνοῦντας ὁρῶν, τῶν εὐσεβῶν τοὺς ἐξάρχοντας, χερσὶ κρατούντων αὐτούς, θαρροῦντας μακάριε, στήριγμα ὑπόσαθρον, ματαιοφρονούντων, ἄρδην τούτους ἐξηφάνισας.

Ὁ φθόγγος σου ἐμφανῶς, τῆς οἰκουμένης τὰ πέρατα, κατέλαβε τῶν πιστῶν, στηρίζων διάνοιαν, κατηγόρων αἴσχια, στόματα λαλούντων, ἀποφράττων τρισμακάριστε.

*Θεοτοκίον.*

Ἰχνηλατεῖν ἀγαθή, ὁσίων πράξεις με ποίησον, ἀδολεσχεῖν τε ἀεί, λογίοις τοῦ Πνεύματος, τοῖς ζωὴν ἐπέχουσι, καὶ εὐχῇ Παρθένε, σωτηρίῳ με ἐνίσχυσον.

*Ὠιδὴ Ζ΄ Θεοῦ συγκατάβασιν.*

Παθῶν κατεκοίμησας, τὸ πῦρ Θεόδωρε ἐγκρατείᾳ στερρῶς, θεοφόρε ἐμμένων, καὶ τῶν δακρύων σου Πάτερ τῷ δροσισμῷ, καὶ τοῖς συνοῦσί σοι ψάλλειν προέτρεπες, εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ῥητόρων διέλυσας, κόμπον ἀπείργοντα εὐσεβείας ὁδοῦ, τῶν σεμνῇ ἐπικλήσει, μεταρρυθμίσεως προσφωνούντων αὐτόν, τοῖς σοῖς πανάριστε ἐνθέοις δόγμασι, καὶ ὑποθήκαις τῶν πρίν, θείων Πατέρων ἡμῶν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Σοφίᾳ πανόλβιε, κεκοσμημένος τῇ ἀνωτάτῳ Χριστοῦ, σεβασμίαν Εἰκόνα, ὀρθῶς ἐδίδαξας προσκυνεῖσθαι ὡς πρίν, ὁ οὐρανόφρων ἔφη Βασίλειος, καὶ ἅπας θεῖος χορός, ὁ τῶν Πατέρων ἡμῶν.

*Θεοτοκίον.*

Ὡς ὄντως δανείσασα, τῷ Θεῷ Λόγῳ σάρκα Παρθένε Ἁγνή, εἰς τὸ σῶσαι πεσοῦσαν, φύσιν τὴν βρότειον τῇ τοῦ θανάτου φθορᾷ, ὅνπερ εὐΐλατον κἀμοὶ ποίησον, τῶν ἐν πληθύϊ κακῶν, ἐταζομένῳ σεμνή.

*Ὠιδὴ Η΄ Ἑπταπλασίως.*

Τῶν τυραννούντων ὅσιε, τὰς ποινὰς ἐκδεχόμενος, τὰς ὑπερορίας, εἰς μακρὰν Θεόδωρε, εἱρκτάς τε καὶ μάστιγας, παρακελεύσεις τε δολεράς, καθομολογῶν, τῇ ἀληθείᾳ ὡράθης, διόπερ ὁ Δεσπότης, σὲ ἠμείψατο Πάτερ, ἰάσεις τοῖς νοσοῦσι, περέχειν θεοφόρε.

Ὑπερφρονοῦντας πάνσοφε, λυκοψύχους ἐν σχήματι, καὶ δορᾷ προβάτων, εὐσθενῶς διήλεγξας, ἀδόκιμον ἔχοντας, καθυποδείξας Πάτερ τὸν νοῦν, ὡς τῶν

ἱερῶν, Εὐαγγελίου λογίων, σαφῶς ἠλογηκότας, πολιτείαν ποιμένων, τῶν μισθωτῶν τῆς μοίρας, κατηκολουθηκότων.

Φωναῖς δοξολογήσωμεν, ἐν ἐνθέοις τὴν Ἄναρχον, οἱ πιστοὶ Τριάδα, ἐν μιᾷ Θεότητι, Πατέρα προάναρχον, τῷ συνανάρχῳ ἅμα Υἱῷ, καὶ τῷ Παναγίῳ ἅμα Πνεύματι φύσει, οὐσίᾳ καὶ θελήσει, ἑνικὴν τὴν τὰ πάντα, ἐκ τοῦ μὴ ὄντος λόγῳ, ὡς ὑποστησαμένην.

*Θεοτοκίον.*

Νοσοῦντα Παναμώμητε, προαιρέσει τὸν δύστηνον, σθένωσον ὡς οἶδας, ἔχεις γὰρ τὸ δύνασθαι, ὡς Μήτηρ ὑπάρχουσα, τοῦ τὸν ἁπάντων Δημιουργοῦ, καὶ τῇ τῶν καλῶν με καθοδήγησον τρίβῳ, ἐκτός σου γὰρ ἐλπίδα, ἄλλην ὅλως οὐκ ἔχω, εἰ μή σε Θεοτόκε, τὴν Κεχαριτωμένην.

*Ὠιδὴ Θ΄ Ἐξέστη ἐπὶ τούτῳ.*

Χαρᾷ τοῦ πανοσίου πνευματικῇ, Θεοδώρου τὴν μνήμην τελέσωμεν, πληθὺς πιστῶν, ἡ τῶν ὀρθοδόξων χριστιανῶν, αὐτοῦ τὰ νικητήρια, ὕμνοις

ἀναμέλποντες καὶ ᾠδαῖς, τὰ κατὰ τῶν δαιμόνων, καὶ τῶν καινοτομούντων, τῆς εὐσεβείας παραδόσεσι.

Ψυχῆς ἐν εὐφρονύνῃ τὴν ἱεράν, καὶ σεπτὴν τοῦ Στουδίτου πανήγυριν, χαρμονικοῖς, ᾄσμασι τελέσωμεν μοναστῶν, χορεῖαι τοῦ παμμάκαρος, Θεοδώρου τοῦ Ὁμολογητοῦ, Χριστὲ ἀναβοῶντες, εὐχαῖς τοῦ σοῦ Ὁσίου, τὴν Ἐκκλησίαν σκέπε πάντοτε.

Ὡς θρόνῳ τοῦ Κυρίου παρεστηκώς, θεοφόρε Πατὴρ ἡμῶν Ὅσιε, τῶν σῶν ἀεί, μέμνησο Θεόδωρε ὑμνητῶν, πιστῶς τῶν δεομένων σου, συνοχῆς τῆς ἔναγχος ἐξελεῖν, Χριστὸς τὴν Ἐκκλησίαν, πρεσβείαις σου τρισμάκαρ, καὶ τὴν εἰρήνην ἀσφαλίσασθαι.

*Θεοτοκίον.*

Μαρία Κυριώνυμε καὶ ἡμῶν, τῶν τοῦ Ὄρους πατέρων Βασίλισσα, καὶ δὴ σεπτή, Μήτηρ ὡς φιλόστοργος καὶ τροφός, εἰρήνην ἡμῖν βράβευσον, καὶ τῆς Ἐκκλησίας ὡς ἀγαθή, τῶν ὀρθοδόξων

Κόρη, εἰς ἓν τὰ διεστῶτα, σύναψον Ἄχραντε ὡς εὔσπλαγχνος.

*Προσόμοια. Ὢ τοῦ παραδόξου θαύματος. Ἦχος πλ.δ΄*

Ὅσιε Πάτερ Θεόδωρε, τὸν τοῦ Κυρίου σταυρόν, ἐπὶ ὤμων ἀράμενος, αὐτῷ ἠκολούθησας, καὶ ἀσκήσει διέλαμψας, τῇ ἐγκρατείᾳ σάρκα ἐνέκρωσας, εὐχῇ ἀπαύστῳ τὸν νοῦν ἐπτέρωσας, πρὸς τὰ οὐράνια, ὅθεν καὶ ἀπείληφας τὰς ἀμοιβάς, τῶν πολλῶν καμάτων σου, παρὰ Χριστοῦ τοῦ Θεοῦ.

Ἄνακτα τὸν θηριώνυμον, τὸν κατ' Εἰκόνων σεπτῶν, ἀδεῶς ἐκλυττήσαντα, εὐθαρσῶς ἐξήλεγξας, θεηγόρε Θεόδωρε, ὅθεν ἐν πλείστοις, ἔτεσιν Ὅσιε, ὑπερορίαις τε καὶ κολάσεσι, ὑποβαλόμενος, τῆς ὁμολογίας σου, ὡς ἀληθῶς, πρὸς Χριστοῦ ἀοίδιμε, στέφει κεκόσμησαι.

Ποίμνην τοῦ Χριστοῦ Θεόδωρε, λυμαινομένην δεινῶς, ἀπονοίας κελεύσμασι, καὶ τοῖς παρακρούσμασι, τῶν ποιμένων αὐτῆς ἐμφανῶς, καὶ

ἀσυγγνώστοις μεταρρυθμίσεσι, ἀντορθοδόξοις τε εἰσηγήσεσι, τούτους τῇ χάριτι, τοῦ Ἁγίου Πνεύματος, καταβαλών, ταύτην διεφύλαξας, Πάτερ ἀλώβητον.

Ἄνασσα συμπάσης κτίσεως, σὺν Ἀρχαγγέλων χοροῖς, Χερουβὶμ καὶ Δυνάμεων, τῶν Ἀγγέλων ἅμα τε, Σεραφὶμ καὶ τῶν Ἐξουσιῶν, Ἀρχῶν καὶ Θρόνων Κυριοτήτων τε, καὶ Ἀποστόλοις Προφήταις Μάρτυσι, καὶ τοῖς Ὁσίοις τε, τὸν Υἱόν σου πρέσβευε διηνεκῶς, ἐκποδὼν ποιησασθαι, καινολογούντων φωνάς.